EPITAPH

Εἰς Κύνα 'Ρῶ 'Ωνομασμένον.

'Ανθρώπους τε κύνας τε κιχάνει μοῖρ' ἀκόρητος·
Σῶμ' ὅδε τύμβος ἔχει 'Ρῶ ἑλικοβλεφάρου.
Πρηὺς ἐών, φίλε Κέρβερ', ἐμὸν ποτὶ πρηὺν ἑταῖρον
Λαχνήεντ' ἐρατὸν δέξο παρὰ φθιμένους.

E. D. P.

ΦΙΛΟΠΛΑΤΩΝΟΣ ΑΝΤΙΛΟΓΙΚΟΣ

(Concluded from page 174.)

ΑΝ. . . . 'Ελέγομεν, εἰ μέμνησαι, ὅτι ὁ ἀπατῶν ἐνίοτε μὲν δίκαιός ἐστιν, ἐνίοτε δὲ ἄδικος. Τὸ δὴ ἐφεξῆς τούτοις, τί ἂν ἡμῖν ὡς ἀναμαρτήτοις διαλεγομένοις διαιρετέον εἴη;

ΣΩ. Πρῶτον μὲν ἀναλογισώμεθα τὰ ὡμολογημένα ἡμῖν. Λέγε τοίνυν πάλιν τόδε· ἦ ἡγεῖ τὴν ἀπάτην τῇ αὐτῆς φύσει χωρὶς τοῦ ζητουμένου τέλους οὐδαμῶς μετέχειν δικαίου ἢ ἀδίκου;

ΑΝ. 'Ως πάνυ μοι δοκοῦν οὕτως ἴσθι.

ΣΩ. Ἦ πολλὰς ὁρᾷς πράξεις ὁμοίας τῇ ἀπάτῃ. ὡς δικαίας ἢ ἀδίκους οὔσας διά τὸ οὗ ἕνεκα μᾶλλον ἢ τὸ ὅτι;

ΑΝ. Πολλὰς δῆτα.

ΣΩ. Καὶ παρὰ δὲ ταύτας ἔτι ἑτέρας διορίζεις;

ΑΝ. 'Ανάγκη εἴ γε ὁμολογεῖται εἶναι τὴν τελείαν καὶ ἁπλῶς δικαιοσύνην.

ΣΩ. Ταῦτα τοίνυν οὕτω διελόμενος, ἆρα φαίης ἂν τρία εἶναι τὰ πράξεων εἴδη;

ΑΝ. Τὰ ποία δή;

ΣΩ. Πρῶτον μὲν αἱ ἐνίοτε μὲν δίκαιαι ἐνίοτε δ' ἄδικοι οὖσαι, ἔπειτα αἱ ἀεὶ δίκαιαι, τὸ δὲ τρίτον αἱ ἀεὶ ἄδικοι.

ΑΝ. 'Αλλὰ μὴν οὐδεὶς ἡμῖν ἀμφισβητήσει οὕτω διορίζουσιν.

ΣΩ. Εἶεν· ἐν ποίῳ τούτων τῶν εἰδῶν τὸ ἀπατᾶν τίθης;

ΑΝ. 'Εν τῷ πρώτῳ τῷ τῶν πράξεων τῶν τότε μὲν δικαίων τότε δ' ἀδίκων οὐσῶν. Ἔτι δὲ ἐν τούτῳ τὰ πλεῖστα ἃ καθ' ἡμέραν πράττομεν, οἷον τὸ ἐσθίειν καὶ τὸ πίνειν καὶ τὸ λέγειν.

ΣΩ. Τί δέ; ἐν τῷ δευτέρῳ αὖ τούτῳ ἐν ᾧ ἐτίθεμεν τὰς καθ' αὑτὰς δικαίας πράξεις, τὰς χωρὶς τῶν ἀποβησομένων δικαίας --- τίνας ὁρᾷς; εἰπὲ μίαν παραδείγματος ἕνεκα.

ΑΝ. 'Αληθῆ λέγειν.

ΣΩ. 'Αλλ' οὕτως ἐπιλήσμων εἶ; οὐ μέμνησαι λέξας ὅτι ἀνδρὶ ἐννοοῦντι εὐεργετεῖν ἔξεστιν ἀπατᾶν;

ΑΝ. Μέμνημαι· πῶς δ' οὔ; 'Αλλ' οὐ διαλαμβάνεις δίχα τὸ ἀπατᾶν;

ΣΩ. Πῶς δὴ τοῦτο λέγεις;

ΑΝ. Πολὺ διαφέρει τὴν φύσιν τὸ σοφίσματι ἀπατᾶν τοῦ ψεύδει ἀκράτῳ ἀπατᾶν. Τό μὲν θέσθω ἐν τῷ πράξεων ἐνίοτε δικαίων ἐνίοτε ἀδίκων γένει, τὸ δὲ ἀεὶ ἄδικόν ἐστιν· οὔποτε γὰρ δίκαιόν ἐστιν ψεύδειν.

ΣΩ. Εἶεν· τίθης οὖν τὸ ἄκρατον ψεῦδος ἐν τῷ τρίτῳ γένει, τῷ πράξεων ἀεὶ ἀδίκων;

ΑΝ. Πάντων μάλιστα δήπου.

ΣΩ. Πάλιν δὲ σκέψωμεν τὸ δεύτερον γένος τὸ πράξεων ἀεὶ δικαίων. Παράδειγμα εἰπὲ τούτων.

ΑΝ. Τὸ ἀληθῆ λέγειν, ὡς νῦν δὴ ἔλεγον.

ΣΩ. Τί δ' εἰ τύχοι ὄν ποτε ἀνδρὸς εὔνου σιγᾶν μᾶλλον ἢ ἀληθῆ λέγειν;

ΑΝ. Οὕτως ἔχοντος τὸν ἀληθεύοντα ὀρθῶς ἂν ψέξαιμεν.

ΣΩ. Οὐκοῦν βούλει ἐᾶν χαίρειν τὸ σὸν παράδειγμα;

ΑΝ. Ναί.

ΣΩ. Βέλτιον τοίνυν σκέψαι, καθ' ὅσον οἴει καὶ δύνασαι καὶ πάλιν παράδειγμα εἰπέ.

ΑΝ. Ἔσκεμμαι ἱκανῶς, σὺ δ' ἄκουσον εἴ πού σοι συνδοκεῖ.

ΣΩ. Λέγε μόνον.

ΑΝ. Ἄρτους ἀνδρὶ πεινῶντι δοῦναι ἀεὶ δίκαιόν ἐστιν.

ΣΩ. Τί δ' ἂν ὁ πεινῶν κάμνῃ,καὶ ὁ ἰατρὸς ἀπειρήκῃ αὐτῷ μὴ ἀλεύρου ἐσθίειν;

ΑΝ. Τί βουλόμενος τοῦτον τὸν τρόπον σοφίζει; ἴσθι γὰρ ὅτι ἄρτους λέγω ὅ τι ἂν χρῇ αὐτὸν ἢ πιεῖν ἢ φαγεῖν, ἔστω ὄψον ἢ οἶνος ἢ φάρμακα οἷα ὁ ἰατρὸς προστέταχεν.

ΣΩ. Τί δ' ἂν ὁ πεινητικὸς ᾖ κακοῦργος πεφευγὼς εἰς θεοῦ τινος ἱερὸν τέμενος, καὶ οἱ ἄρχοντες αὐτὸν ἐκπολιορκῶσι λιμῷ; γένοιτο γὰρ ἂν καὶ τοῦτο.

ΑΝ. Εἰ δ' οὕτως,δικαίως ἂν πάντες σῖτον ἀφέλοιεν αὐτοῦ.

ΣΩ. Τί δὲ περὶ τοῦ σοῦ παραδείγματος, τοῦ δευτέρου;

ΑΝ. Οὔπω γε βούλομαι αὐτὸ ἐᾶν χαίρειν, τάχα γὰρ ἂν ἴσως οἷός τε εἴην ἐπανορθώσασθαι αὐτὸ, εἴπερ παρίῃς.

ΣΩ. Οὕτω ποίει.

ΑΝ· 'Εν τῷ γένει τῶν πράξεων ἀεὶ δικαίων θείην ἂν τὸ ἀνδρὶ πεινητικῷ ἀγαθῳ ὄντι σῖτον προσῆκον δοῦναι.

ΣΩ. Τοῦτο ἰσχυρίζει;

ΑΝ. 'Ισχυρίζομαι.

ΣΩ. Σκέψαι δὴ καὶ τὸ τοιόνδε.

ΑΝ. Τὸ ποῖον;

ΣΩ. 'Ιδὲ ὁδὸν ἐρήμην καθ' ἣν βαδίζει ἄνθρωπός τις.

ΑΝ. 'Ορῶ.

ΣΩ. Φερέτω οὖν κάλαθον ἐν ᾧ σῦκα ἔστω.

ΑΝ. Ἔστω οὕτως, ἀλλὰ τί τοὐντεῦθεν;

ΣΩ. Οὗτος ὁ ἄνθρωπος ἀνθρώπῳ ἀγαθῳ τε καὶ πεινητικῳ ἐντυχέτω .

ΑΝ. 'Ενταῦθα μὲν δὴ τῆς σῆς εἰκόνος εἰπέ μοι περὶ τῶν σύκων, εἰ ἄρα λέγεις αὐτὰ εἶναι οἰκεῖα τοῦ ἀνθρώπου τοῦ τὸν κάλαθον φέροντος;

ΣΩ. Οὕτω λέγω.

ΑΝ. Ἆρ' οὖν ἡμῖν οὐ πολλὴ ἀνάγκη ὁμολογεῖν ὅτι ἂν δικαίου εἴη ἀνδρὸς δοῦναι τῶν σύκων τῳ ἀπαντῶντι ;

ΣΩ. Ἔτι τοίνυν ἄλλῳ τινὶ πάνυ μοι πρόσεχε τὸν νοῦν.

ΑΝ. Λέγε δὴ καὶ μὴ διάτριβε.

ΣΩ. Τί δ' ἂν τύχῃ ἐγγὺς ἐλλοχῶν μαινόμενος ἔχων παρὰ τὴν ζώνην μάχαιραν, καὶ ἐν νῳ ἔχῃ, ἵνα εὐχὴν ἀποδῳ, ὅντιν' ἂν ἐσθίοντα εὕρῃ τοῦτον αὐτίκα σφάζειν;

ΑΝ. 'Αλλὰ παγγέλοιον.

ΣΩ. Οὐ μέντοι ἀδύνατόν γε. Ἔτι δὲ θές μοι λόγου ἕνεκα τὸν κίνδυνον φαινόμενον μὲν τῳ ἀνθρώπῳ τῳ τὰ σῦκα ἔχοντι, λανθάνοντα δὲ τὸν πεινητικόν.

ΑΝ. Μὰ Δί' ἔγωγε οὐκέτι ἔχω τί χρὴ λέγειν.

ΣΩ. Ἀλλὰ ἢ ἔτι πόρον τινὰ πειρῶμεν εὑρίσκειν τοῦ ζητήματος ἡμῖν, ὕστερον ἐπισκεψώμεθα.

Brooklyn MAUD WILKINSON